Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: jkg-aa

*Διονύσιος ὁ τοῦ Καλλίφωντος (γεωγράφος)* · Dionysius son of Calliphon

# Description of Greece by Dionysius Son of Calliphon

*Περιγραφὴ τῆς Ἑλλάδος Διονυσίου τοῦ Καλλιφῶντος*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Γεωγραφία* Geography
**Format:** *Πεζός* Prose

1 ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΚΑΛΛΙΦΩΝΤΟΣ ΑΝΑΓΡΑΦΗ ΤΗΣ ΕΛΛΑΔΟΣ.

2 Διὰ παντὸς, ὦ Θεόφραστε, καθάπερ οἶσθα σύ, ἴδιόν τι πλάττων, κοὐχὶ τὸν ἑτέρων πόνον, ὅπερ ἔνιοι ποιοῦσ’ ἐμαυτοῦ τιθέμενος νῦν ἱστόρηκα τὴν ἅπασαν Ἑλλάδα, ὑποταττομένας ταύτῃ δὲ τὰς ἑξῆς πόλεις, στοιχεῖον οὐκ ἄμουσον ἅμα θ’ Ἑλληνικόν ἱκανήν τε παρέχον διατριβὴν τοῖς δυναμένοις ὀρθῶς συνιδεῖν ἕκαστα. Τὰ γὰρ ἐν πλείοσιν ὑπὸ τῶν παλαιῶν συγγραφέων εἰρημένα, ταῦτ’ ἐμμέτρως ῥηθήσετ’ ἐν βραχεῖ χρόνῳ, ὅπερ ἐστὶν ἱκανῶς δύναμιν ἰσχυρὰν ἔχον· ὑπολαμβάνω γὰρ ἀσφαλῶς ἡμῖν ἔχειν κεῖσθαί τε τὰς μάλιστα διασήμους πόλεις, ἄλση, ποταμοὺς, νήσους τε τοὺς διάπλους τε καί λιμένας, ἅ τ’ ἐστὶν ἐν Πελοποννήσῳ γένη λεγόμενα χώμοροῦντ’ ἑαυτοῖς κατὰ τόπους, ἵνα μηδὲ ἕν σε τὸ σύνολον διαλανθάνῃ, φανερῶς ἑκάστων ὁμολόγως τε κειμένων, ὥστ’ ἀναλαβόντα καὶ διὰ μνήμης ἔχειν· νωθρὰν γὰρ οὐχ εὕροις ἄν, ἀλλ’ ἐσπευσμένην τὴν πραγματείαν· διὸ σεαυτὸν μὴ βραδύν ὁλοσχερῶς ἐπὶ ταῦτα δοὺς καὶ σπουδάσας συμφιλομάθησον, καθάπερ εἴωθας ποιεῖν. Τῆς Ἑλλάδος ἐστὶν Ἀμβρακία πρώτη πόλις.

3 Αὕτη δ’ ἀποικία λέγεται Κορινθίων εἶναι. Κατὰ τὸν κόλπον δὲ τὸν καλούμενον Ἀμβρακικὸν ᾤκισται μέση, σταδίους δ’ ἔχει ἀπὸ τῆς θαλάττης ὀγδοήκοντ’. ἐπιφανὲς δ’ ἱερὸν Ἀθηνᾶς ἐστ’ ἐν αὐτῇ καὶ λιμὴν κλειστός. Καλεῖται Δρυοπὶς ἡ χώρα δ’ ὅλη. Ἡ δ’ Ἑλλὰς ἀπὸ τῆς Ἀμβρακίας εἶναι δοκεῖ μάλιστα συνεχής· τὸ πέρας αὐτῆς δ’ ἔρχεται ἐπὶ τὸν ποταμὸν Πηνειὸν, ὡς Φιλέας γράφει, ὄρος τε Μαγνήτων Ὁμόλην κεκλημένον.

4 Τινὲς δὲ τὴν Μαγνησίαν τῆς Ἑλλάδος λέγουσιν εἶναι, τὸν δὲ Φιλέαν ἀγνοεῖν ἀποχωρίσαντα, τοῦτο δ’ εἶναι συμφανές τοῖς φιλομαθεῖν μάλιστα φιλοτιμουμένοις. Πλὴν ἐπὶ τὰ λοιπὰ τοῦ λόγου προβήσομαι.

5 Ἀπ’ Ἀμβρακίας εἰς Θετταλίαν τριῶν ὁδός ἔσθ’ ἡμερῶν. Ἔχει δὲ ποταμὸν λεγόμενον Ἄρατθον εἰς θάλατταν ἐξιόντα, καί ὄρος πρόσεστιν ἱερὸν ἐπικεκλημένον. Σταδίων δ’ ὁ παράπλους ἐστὶν ἑκατὸν εἴκοσιν.

6 Εἶτα μετὰ ταύτην εἰς’ Ὀρέσται λεγόμενοι· εἶτ’ Ἀμφιλοχία δ’· Ἄργος ἐνταῦθ’ ἔστι τό Ἀμφιλοχικόν. Μετὰ τοῦτ’ Ἀκαρνᾶνες· πόλεις οὗτοι δ’ ἔχουσι πλείονας, καὶ Λευκάδα, ἀφ’ ἧς μέγας ἐστὶ κόλπος εἰς Ἰσθμὸν φέρων.

(50)

Νῆσοι Κεφαλλήνων δ’ ἐν αὐτῷ κείμεναι· Ἰθάκη σταδίων [ὡς] ὀγδοήκοντα, στενή, ὕψος δ’ ἔχουσα καὶ λιμένας τρεῖς· ἐχομένη … πρὸς ἑσπέραν δ’ οἰκοῦσι τῆς Αἰτωλίας … Ἱερὸν δ’ ὕπεστιν Ἡρακλέους καλούμενον, ἕτερον δ’ Ἀφροδίτης. Ποταμὸν ἡ χώρα δ’ ἔχει Ἀχελῷον. Ἡμερῶν δὲ καὶ νυκτῶν δύο ἔσθ’ ὁ παράπλους αὐτῆς. Ἔχεται δ’ Αἰτωλία, ἐν ᾗ πόλις Πλευρὼν ὑπόκειται, χἱερόν ἅγιον Ἀθηνᾶς ἐστιν ὠνομασμένον.

Ἔπειτα Καλυδὼν, εἶτεν αἵ τ’ Ἐχινάδες νῆσοι ποταμός τ’ Εὔηνος ἐκ Πίνδου ῥέων. Οὗτοι Δολόπων οἰκοῦσι πρὸς μεσημβρίαν· παράπλους δὲ ταύτης ἐστὶν ἡμέρας μιᾶς. Εἶτα μετὰ ταύτην ἡ Λοκρὶς καλουμένη, ἐν ᾗ πόλις Ναύπακτος· εἶθ’ ὑποκείμενος λιμὴν μέγας πόλις τε Τολοφών. Μετὰ δὲ τήν Τολοφῶνα ποταμός ἐσθ’ Ὕλαιθος λεγόμενος· τοῦτον δὲ ῥεῖν λέγουσιν ἐξ Αἰτωλίας. Ὁ πᾶς δὲ παράπλους οὐδ’ ὅλης ἔσθ’ ἡμέρας.

Οὗτοι κατοικοῦσιν δὲ πρὸς μεσημβρίαν Αἰτωλίας, Λέλεγες τὸ πρὶν κεκλημένοι. Ἔπειτα Φωκεῖς εἰσι Λοκρῶν ἐχόμενοι, παρ’ οἷς πεδίον Κρισαῖον. Ἀπὸ Κίρρας δ’ ἄνω προβάντι Δελφῶν πόλις ὕπεστι χἱερόν, ἐν ᾧ τὸ μαντεῖον, ὅ τε Παρνασός, μέγα καὶ σύσκιον ὄρος, εἶτα νυμφῶν ἐχόμενον Κωρύκιον ἄντρον· εἶτεν Ἀντικύρα πόλις ποταμός τε Κηφισὸς ῥέων ἐκ Φωκίδος.

Παράπλους δὲ ταύτης ἡμέρας ἔσθ’ οὐχ ὅλης.

ἐν τῇ μεσογείᾳ δ’ ἐστὶ Κυπάρισσος πόλις Κρῖσά τε, μετ’ αὐτὴν Δαυλίς. Ἡ Βοιωτία χώρα δὲ μετὰ Φωκεῖς ὑπόκειται, κειμένη τῆς Φωκίδος χώρας πρὸς ἕω· κἄστιν δύο ἐπίσημ’ ὄρη, τὸ μὲν Ἑλικὼν καλούμενον, ἕτερον Κιθαιρών. Εἶτεν Ὠρωπὸς πόλις, καὶ τῆς θαλάττης ἀπέχον ἱερὸν οὐ πολύ ἔστ’ Ἀμφιαράου καὶ νεὼς καὶ τὸ τέμενος, Αὐλίς τε Βοιωτῶν πόλις, πρὸς ᾗ λιμήν κἀρτέμιδος ἱερὸν ἅγιον, ὃ λέγεται κτίσαι Ἀγαμέμνον’, εἶτεν Ἐρέσιον καλούμενον ἀκρότατον, εἶτ’ Εὔριπος. Ἀνθηδὼν δ’ ἔχει Ἀνθηδόνιον τὸν λιμένα· καὶ μετ’ οὐ πολύ Τάναγρα. Κεῖται δ’ ἐν μεσογείᾳ πάνυ καλή πόλις, μεγάλαι Θῆβαι, σταδίων τὸ περίμετρον ἔχουσα τετταράκοντα καὶ προσέτι τριῶν, Κῶπαι (δὲ) πόλις κὠρχομενός· εἶτα μετ’ οὐ πολύ πόλις Λεβάδεια χἱερὸν Τροφωνίου, ὅπου τὸ μαντεῖον λέγουσι γεγονέναι. Εἶτ’ Ὠκαλέα πόλις ἐστὶ καὶ Μεδεών. Μετά ταύτην ὑπόκειται Θεσπιὰ, κᾆτ’ ἐχομένη ἡ προσαγορευομένη Πλαταιαὶ, μετὰ δέ τις πόλις ὑπόκειται Νῖσα. Μῆκός ἐστι τῆς Βοιωτίας στάδι’, ὡς λέγεται, πεντακόσια, διακόσια δὲ χἀβδομήκοντ’ ἐστὶ τό πλάτος. Ποταμοὺς ἔχει δὲ τὸν μὲν λεγόμενον Ἰσμηνὸν Ἀσωπόν τε, πεδία δ’ εὔυδρα παρακείμεν’ ἔστ’· ἔπειτα χώρα Μεγαρέων. Ἐντεῦθεν ἀρχὴ τῆς Πελοποννήσου .....

............. Λιμήν χωστὸς ὑπόκειται καὶ Λέχαιον λεγομένη πόλις …

——— Κρήτη τίς ἐστι κατὰ Κύθηρα κειμένη νῆσος περίκλυστος· ἔστι δ’ αὐτῆς τὸ μέγεθος δισχιλίων καὶ πεντακοσίων που σχεδόν σταδίων· ἁπασῶν δ’ ἐστὶ πελαγιωτάτη, στενὴ δὲ τελέως· ἐν δὲ ταύτῃ τρία γένη ἀποικίαν ἔσχηκεν Ἑλλήνων· τὸ μέν Λακεδαιμονίων, ἔπειτεν Ἀργείων, τὸ δέ ἀπὸ τῶν Ἀθηναίων· ἔχει δὲ βάρβαρα αὐτόχθονα γένη. Φασὶ δ’ ἐν Κρήτῃ πόλιν εἶναι Φαλάσαρνα κειμένην πρὸς ἥλιον δύνοντα, κλειστὸν λιμέν’ ἔχουσαν χἱερόν Ἀρτέμιδος ἅγιον, καὶ καλεῖσθαι τὴν θεόν Δίκτυνναν· εἶτεν Ἀπτεραίαν λεγομένην ἐν τῇ μεσογείᾳ· κᾆτα Κνωσσὸν ἐχομένην καὶ πρὸς νότον Γόρτυναν· ἄλλαι τ’ εἰσὶν ἐν Κρήτῃ πόλεις, ἅς ἐστιν ἐργῶδες φράσαι. Ποταμοὺς δ’ ἔχει Ληθαῖον, εἶτα λεγομένους Διδύμους, ἔπειτα Μαινόμενον, εἶτ’ ἐχόμενον Κεδρισὸν Ἀμφιμέλαν τε καὶ Μεσσάπολιν, ὄρος τε Δικτυνναῖον ἐπὶ δυσμὰς φέρον.

Τὰς δὲ Κυκλάδας νήσους ὁρῶμεν κειμένας ὑπὲρ Γεραιστοῦ, πρὸς δὲ τὴν μεσημβρίαν οὔσας μὲν Εὐβοίας, περιεχούσας δὲ τό πέλαγος τὸ Μυρτῷον λεγόμενον, ἔτι δὲ καί τῆς Ἀττικῆς χώρας μετεχούσας παντελῶς.

Ἐγγὺς Κέως πρώτη τετράπολις Σουνίου νῆσος ὑπόκειται καὶ λιμήν· ἔχεται Κύθνος νῆσος πόλις τ’, εἶτεν Σέριφος καὶ λιμήν, ἔπειτα Σίφνος καὶ Κίμωλος ἐχομένη … ἔχουσα λιμένας δύο· μετ’ αὐτὴν δ’ ἐστὶν ἡ Δῆλος ἱερὰ νῆσος λεγομένη, καὶ λιμήν νεώς τε τἀπόλλωνος, εἶτεν ἐχομένη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μύκονος· μετὰ ταύτην Τῆνός ἐστι καὶ λιμήν, Ἄνδρος τε νῆσος καὶ κατὰ Γέραιστον λιμήν. Αὗται μέν εἰσι Κυκλάδες, ἕτεραι λεγόμεναι Σποράδες, ἐν αἷσι Μῆλος, εἶτεν οὐ πολύ ἀπέχουσα Θήρα νῆσος, εἶτεν οὐ πολύ Ἴος, εἶτα Νάξος· μετὰ δὲ ταύτην πελαγία Σκῦρος· κατ' Εὔβοιαν δ' ὁρῶμεν κειμένην αὐτήν· ἀπὸ ταύτης ἐστὶν ἀπέχους' οὐ πολύ νῆσος Πεπάρηθος ἡ τρίπολις καλουμένη ...

⟦ ΔΙΚΑΙΑΡΧΟΥ ΑΝΑΓΡΑΦΗ ΕΛΛΑΔΟΣ ⟧

Eulogikon public reading copy · View original HTML at eulogikon.org